εὐκτικά (1): schol. Dion. Thr. ed. Hilg. p. 450, 34 προσευκτικόν. — ἀποστολικά (4): schol. Dion. Thr. ibid. l. 11. — γνωμολογικά (5): schol. Dion. Thr. ibid. l. 13.

323 a 40 (cod. 240 Ioh. Philop.) ὅτι ἄβυσσος παρὰ πᾶσι τὸ πολὺ καλεῖται ὕδωρ καὶ εἰς βάθος χωροῦν ἄληπτον ἡμῖν, παρὰ τὸ μὴ βύειν εἰς αὐτό.

3 μὴ βύειν] μηνύειν codd ; μὴ δύειν ex EM scr. Bekk.: ex Philop. corr. Nauck (Ersch et Gruber encyclop. scient. et art. sect. III part. XXIII p. 468 adn. 22).

aliter P 8 (R.) ἄβυσσος· ἡ πέρας μὴ ἔχουσα διὰ μέγεθος· ἔστι δὲ καὶ ἐν Ἄργει λίμνη οὕτω καλουμένη. cf. Hesych.

Epim. ed. Cram. an. Ox. II p 342, 1; EM; EGud; Suid.; Zonar. cod. K; schol. Luc ed. Rabe p. 24, 21; Arethas comment. in apocal. IX 3, ed. Cramer (Catenae VIII) p. 312, 16; Eustath. 1340, 38.

324 b 10 (cod. 241 Philostr. v. Ap.) Νύσιος γὰρ ὁ Διόνυσος ἀπὸ τῆς ἐν Ἰνδοῖς Νύσσης Ἰνδοῖς τε ὀνομάζεται καὶ πᾶσι τοῖς πρὸς ἀκτῖνα ἔθνεσιν. P om.

327 a 38 (ibid.) ἀφίκοντο δὲ ἐπὶ τὴν θάλατταν τὴν ἐρυθράν· ταύτην δ' εἶναί φησιν οὗτος κυανωτάτην, λαχεῖν δὲ τὴν ἐπωνυμίαν ἀπὸ Ἐρύθρα βασιλέως (cf. 442 a 25). P om.

1 θάλασσαν ς. — 2 φασιν οὕτως ς.

Strabo XVI p. 779, 20; Steph. Byz.; Epim. ed. Cram. an. Ox. II p. 367, 11; EM; EGud; Eustath. ad. Dion. Per. (geogr. Gr. min. Müller II p. 224, 34).

331 b 19 (ibid.) ὅ τε Κιλίκιος λόγος 'ποῖ τρέχεις; ἢ ἐπὶ τὸν ἔφηβον;' ἐπὶ Ἀπολλωνίῳ τε ἐλέγετο καὶ παροιμιώδη τιμὴν ἔσχε. P om.

2 ἐγένετο ς.

333 b 25 (ibid.) ᾔκαλλε. cf. P 50 (R) Αἰκάλλειν· ἀντὶ τοῦ σαίνειν, ὅπερ οἱ κύνες ποιοῦσιν. οὕτως Πλάτων.

schol. Ar. equ. 48; Phryn. ed. Bekk. p. 21, 26.

334 a 21 (ibid.) ἰσηλίκων. P om.

Suid.

335 a 33 (cod. 242 Damascius) ἐκ τρίτων ἀντὶ τοῦ τρίτον. P deest.

338 b 17 (ibid.) μόνος δὲ ἀνθρώπων, ὧν ἀκοῇ ἴσμεν] εἴποις δ' ἂν καὶ μόνος ἀνθρώπων, οὓς ἀκοὴ ἔσχεν ἢ ἔγνω· ἢ καὶ οὕτως· οἳ πρὸς ἀκοὴν ἦλθον, ἢ ὧν εἰς κατάληψιν ἀκοὴ ἧκεν, ἢ οὓς δι' ἀκοῆς ἴσμεν, ἢ οὓς διασώζει μνήμη, ἢ οὓς οὐκ ἔσβεσε λήθη, καὶ πολλὰ τοιαῦτα. P om.

338 b 25 (ibid.) ὅτι φυλακεῖα οἱ Ἀλεξανδρεῖς ἐκάλουν τὰ ἐκμαγεῖα τῶν γυναικείων μολυσμῶν. P deest.

Galen. gloss. Hipp. Kühn XIX p. 144 s v. σφενδόνην ..τὸν καλούμενον φύλακα; Suid. s. v. φυλάκια.

341 b 11 (ibid.) βάβια δὲ οἱ Σύροι καὶ μάλιστα οἱ ἐν Δαμασκῷ τὰ νεογνὰ καλοῦσι παιδία, ἤδη δὲ καὶ τὰ μειράκια, ἀπὸ τῆς παρ' αὐτοῖς νομιζομένης Βαβίας θεοῦ. P deest.

3 Βαβαίας A.

342 a 34 (ibid.) ἀλλὰ τὸ λεγόμενον εὐλόφῳ αὐχένι τὴν ἄσκησιν ὑπέμενε. P om.

Suid. s. v. εὐλόφως.

343 a 10 (ibid.) ὁ κῆβος· ἔστι δὲ πιθήκου εἶδος.

Strabo XVII p. 812, 40; in Hesychio exstat forma κῆπος, quae in bibliotheca haud ignota est; cf. p. 455 b 9 et 23; sed P in quattuor glossis κῆπος p. 139 de simia tacet.

343 b 21 (ibid.) ὅτι Φοίνικες καὶ Σύροι τὸν Κρόνον Ἦλ καὶ Βὴλ καὶ Βωλαθὴν ἐπονομάζουσιν. P om.

1 Βωλαθὴν A: βωλαθ ν B: βολαθὴν C: βολάθην ς.

344 b 18 (ibid.) αἴτιον δὲ τῆς μὴ εὑρέσεως τὸ ἐλάχιστον μέτρον τῶν ἐναρμονίων διαστημάτων, ὅπερ δίεσιν ὀνομάζουσι.

τοῦτο δὴ ἀπολωλὸς ἐκ τῆς ἡμετέρας αἰσθήσεως καὶ τὸ ἄλλο γένος τὸ ἐναρμόνιον προσαπώλεσεν. P deest.

Dion. Hal. Lys. 11 ed. Usen. et Raderm. p. 19, 4; Theo Smyrn. ed. Hiller p. 55, 11; Bacchius ed. Consbr. p. 293; Hesych.; Ba.; Suid.

348 a 12 (ibid.) ὅτι Διόνυσος, φησί, Λυκοῦργον καὶ τοὺς ἑπομένους αὐτῷ Ἄραβας κατηγωνίσατο, οἴνῳ ἀπ' ἀσκοῦ καταρράνας τὴν πολεμίαν στρατιάν· ἐξ οὗ καὶ τὴν πόλιν ἐκάλεσε Δαμασκόν. οἱ δὲ τὴν ἐπωνυμίαν διδόασι τῇ πόλει ἀπὸ γίγαντός τινος, ᾧ ὄνομα Ἀσκός, ὃν ὁ Ζεὺς ἐδάμασεν ἐνταῦθα· ἄλλοι δὲ καὶ ἄλλας λέγουσι τῆς ἐπωνυμίας αἰτίας. P deest.

1 φασί ς.

Steph. Byz., EM, EGud, ab Ἀσκῷ quidem nomen derivant, sed alia narratione adiecta.

349 a 20 (ibid.) κρήδεμνον, φωσώνιον· ὀράριον· Ῥωμαϊκόν· προσώπου ἐκμαγεῖον, ἡμιτύβιον.

1 κρήδεμνον — 2 ἡμιτύβιον om. B. — 1 Ῥωμαϊκόν] ῥω' AC: τοῦ ς: de siglo ῥω' cf. Reitzenstein Gesch. p. 102. — 2 ἡμιτύβιον] ἢ τύμβιον A.

P 153 κρήδεμνον· κεφαλοδέσμιον ἢ μαφόριον ex Σ. cf. Ba. et Suid. P 61 ἡμιτύβιον· δίκροσσον· Ἀριστοφάνης Πλούτῳ (729)· ʻἔπειτα καθαρὸν ἡμιτύβιον λαβών᾽. eadem Suid.

κρήδεμνον: Hesych.; EM; EGud; schol. X 469; Ξ 184; Eustath. 976, 42. — φωσώνιον: Poll. VII 71; Ba.; Suid.; schol. Luc. ed. Rabe p. 191, 8. — ἡμιτύβιον: Poll. VII 71; Erotian. ed. Klein p. 10, 15; Galen. gloss. Hipp. ed. Kühn XIX p. 102; schol. Aristoph. Plut. 729.

351 a 26 (ibid.) τοῦ ὀμμακοΐου· τῆς αὐτοψίας καὶ ἀκοῆς ἅμα. P om.

351 b 10 (ibid.) οὐ μιᾷ χειρὶ δωρούμενος, ἀλλ' ἀμφοῖν, κατὰ τὴν παροιμίαν. P om.

351 b 26 (ibid.) κατὰ τὸν ἱκνούμενον χρόνον· ἀντὶ τοῦ κατὰ τὸν ἐπιόντα. P om.

352 b 24 (ibid.) Ἔσμουνον ὑπὸ Φοινίκων ὠνομασμένον ἐπὶ τῇ θέρμῃ τῆς ζωῆς· οἱ δὲ τὸν Ἔσμουνον ὄγδοον ἀξιοῦσιν ἑρμηνεύειν, ὅτι ὄγδοος ἦν τῷ Σαδύκῳ παῖς. P om.

371 b 28 (ibid.) πήχεις οἱ Αἰγύπτιοι τὴν αὔξησιν τοῦ Νείλου προσαγορεύουσι, καὶ μετροῦσι τὰ νάματα, καὶ πανήγυρις αὐτοῖς ὁ πῆχυς γίνεται.

1 οἱ om. C. — 2 μέτρῳ μετροῦσι ς.

alia P 370 πήχεων· οὕτως· οὐ πηχῶν. ὡς καὶ πήχεως· οὐ πήχους.

383 a 41 (cod. 244 Diodorus) ὅτι τοὺς Ἴβηρας καὶ Λυσιτανοὺς ὀνομάζει. P om.

389 b 28 (ibid.) Τριόκαλα δὲ αὐτό φασιν ὠνομάσθαι διὰ τὸ τρία καλὰ ἔχειν, πρῶτον μὲν ναματιαίων ὑδάτων πλῆθος, διαφόρων τῇ γλυκύτητι, δεύτερον παρακειμένην χώραν ἀμπελόφυτόν τε καὶ ἐλαιόφυτον καὶ γεωργεῖσθαι δυναμένην θαυμαστῶς, τρίτον ὑπερβάλλουσαν ὀχυρότητα, ὡς ἂν οὔσης μεγάλης πέτρας ἀναλώτου. P om.

1 φησιν B. — 4 θαυμαστῶς om. B.

391 a 27 (ibid.) ἰμπεράτορα αὐτὸν ἀναγορεύειν καὶ ἀποκαλεῖν, ὅ ἐστι βασιλέα. P om.

395 a 11 (cod. 245 Plutarchi Cicero) ὅτι τὸ λεπτότατον τοῦ χαλκοῦ νόμισμα κουαδράντην Ῥωμαῖοι καλοῦσιν.

aliter P 152 κοδράντης· τὸ πᾶν, ἢ λεηπτὰ δύο.

Marc. evang. 12, 42 et Hesych. κοδράντης.

403 b 14 (cod. 246 Aristid. Panath.) τὸ καθ' ὁδὸν ἢ κατ' ἀξίαν λέγει, ὥσπερ ἐστὶν εὐθεῖα ἡ ὁδὸς ἢ ὥσπερ συμβαίνει ἐν ὁδῷ γενέσθαι· πολλάκις γάρ τις ἀπερχόμενος τήνδε τὴν ὁδὸν ἄλλην ἕλκοντος αὐτὸν βαδίζει φίλου. P om.

422 b 14 (cod. 247 Aristid. in Plat.) ὅτι Ἀριστείδης τὴν ἀνακεφαλαίωσιν τῶν προειρημένων ἐπάνοδόν φησιν· ἐρεῖς δ' ἂν καὶ συγκεφαλαίωσιν καὶ ἐπίλογον καὶ σύνοψιν καὶ ἀνάμνησιν· καὶ συλλογίσασθαι τὰ εἰρημένα ὡς ὁ Δημοσθένης (19, 177), καὶ συναγαγεῖν καὶ συντόμως εἰπεῖν καὶ ἀριθμῆσαι καὶ ἀπαριθμήσασθαι καὶ ἄλλ' ἄττα τοιαῦτα, καὶ ἐπαναλαβεῖν καὶ ἀνακεφαλαιῶσαι. P om.

424 a 4 (ibid.) κατάβαλε· κατάθου, πέπαυσο, σίγα.

P 116 κατάβαλε· οἷον ῥῖψον, ἄφες καὶ κατάθου.

424 a 10 (ibid.) σφόδρα τῶν λόγων γίνῃ· ἀντὶ τοῦ λέσχης γίνῃ καὶ οὐ τῆς τῶν πραγμάτων ἀληθείας. P om.

424 b 21 (ibid.) ὥστε τὸν οἴκοι θησαυρὸν διαβάλλοιμεν ἄν, εἰ ταῦτα διασύροιμεν· παροιμία. τάττεται δὲ ἐπὶ τῶν τὰ οἴκοι διαβαλλόντων. P om.

424 b 34 (ibid.) ὁ Κρὴς δὴ τὸν πόντον, φήσει τις· παροιμία ἐπὶ τῶν προσποιουμένων τὸ ἀγνοεῖν· οἱ γὰρ Κρῆτες ἐμπειροθάλασσοι. λέγεται δὲ καὶ ὁ νησιώτης ἀγνοεῖν τὴν θάλασσαν, καὶ ὁ Σικελὸς τὴν θάλασσαν.

Diogenian. III 41; Apostol. XII 57.

cf. P 280 ὁ Κρὴς τὴν θάλασσαν· ἰδὼν γὰρ αὐτὴν γαληνίζουσαν ἔφη· εἰ μὴ ᾔδειν σε.
Hesych. et Suid. — Zenob. V 30; Eustath. 313, 41.

428 b 3 (ibid.) μικροῦ δεῖν, παρ' ὀλίγον, σχεδόν, ἐγγὺς ἧκεν, οὐ πόρρω ἦν, οὐ πόρρω εἰπεῖν, ὡς εἰπεῖν, ὡς ἔπος φάναι, ὡς τὸ ἔπος φάναι, ὀλίγου δεῖν, ὀλίγου δέω φάναι, μόνον οὐχί.

P 232 μικροῦ δεῖν· παρὰ μικρόν. (cf. Hesych.) μικροῦ δέω· παρὰ μικρὸν λείπω. ex Σ; cf. Ba. et Suid.

429 b 6 (ibid.) ἀντὶ τοῦ οὐδαμῶς μὲν παραλαμβάνεται τὸ ἤπου· ἐνταῦθα δὲ ὁ Ἀριστείδης ἀντὶ τοῦ πολλῷ πλέον ἔλαβεν· εἰρωνικῶς δὲ τὸ πολλῷ πλέον εἶπεν, οἷον οὐδ' ὅλως· καὶ πολλάκις οὕτω τῷ ἤ που ἀντὶ τοῦ πολλῷ πλέον χρῆται, μᾶλλον δὲ σχεδὸν ἀεί.

P 63 ἤ που· ἄρα γε. ἤπου· ἴσως· σχεδόν. ἤ που γε· πολλῷ πλέον. ex Σ; cf. Ba. et Suid.
EM; schol. Plat. Politic. 285 D (p. 252 Herm.).

429 b 12 (ibid.) καὶ καθήμενον ἔξω τῆς ζάλης ὑπὸ τῷ τειχίῳ . . . παροιμία· τάττεται δὲ ἐπὶ τῶν ἄλλα ἀντ' ἄλλων ποιούντων ἢ ἐωμένων. παρῆκται δὲ ἀπὸ τοῦ τὸν Πρίαμον καὶ τὴν Ἑλένην ἐκ τοῦ τείχους θεωροῦντας τοὺς Ἕλληνας περὶ αὐτῶν διαλέγεσθαι. P om.
1 τῷ om. A.
Zenob. III 89 et Suid.: ἔξω βελῶν καθῆσθαι.

429 b 30 (ibid.) κρανίαν τὴν περικεφαλαίαν λέγει, βύρσαν δὲ τὸ ὅπλον παρὰ τὸ ἔχειν βύρσαν περὶ αὐτό, νήϊα δὲ τὰ σχοίνια, κωπέας δὲ τὰ ξύλα τὰ πρὸς κώπας ἐπιτήδεια. P om.
κρανία: Hesych.; Ba. et Suid. κράνος. — κωπεῖς: Hesych.; V Bekk. p. 274, 32. — νήϊα: Hesych. et Suid. aliter.

429 b 38 (ibid.) τί ταῦτα τοὺς Ἀχαιοὺς ἀπὸ τοῦ πύργου κρίνομεν; παροιμία· ὥσπερ ὁ Πρίαμος ἐκ τοῦ τείχους καὶ Ἑλένη. P deest.

434 a 13 (ibid.) οἴκοι πονηρῶς ἐπεπράγεσαν· ἀντὶ τοῦ ἀτυχῶς.

cf. P 382 πόνηρος· ἐπίπονος· ἡ πρώτη ὀξεῖα. cf. Suid.
Hesych. et EM s. v. πονηρεύω; Herodian. ed. Ltz. I 197, 19 et adn.; schol. Luc. ed. Rabe p. 35, 25; 183, 1.

437 a 24 (ibid.) τὸ ἀμέλει Ἀριστείδης πολλάκις ὡς παρέλκον λαμβάνει.

cf. P 90 (R) ἀμέλει· τοιγαροῦν. δηλαδή, πάντως· ἐπίρρημα γάρ ἐστι συγκατάθεσιν δηλοῦν.

Ba. (Bekk. p. 307, 8); schol. Aristoph. nub. 488; schol. Luc. ed. Rabe 6, 11; 136, 25 adn.

438 b 19 (cod. 249 Pythagorae vita) τῶν δὲ Πυθαγόρου οἱ μὲν ἦσαν περὶ τὴν θεωρίαν καταγινόμενοι, οἵπερ ἐκαλοῦντο σεβαστικοί, οἱ δὲ περὶ τὰ ἀνθρώπινα, οἵπερ ἐκαλοῦντο πολιτικοί, οἱ δὲ περὶ τὰ μαθήματα, γεωμετρικὰ καὶ ἀστρονομικά, οἵπερ ἐκαλοῦντο μαθηματικοί. καὶ οἱ μὲν αὐτῷ τῷ Πυθαγόρᾳ συγγενόμενοι ἐκαλοῦντο Πυθαγορικοί, οἱ δὲ τούτων μαθηταὶ Πυθαγόρειοι, οἱ δὲ ἄλλως ἔξωθεν ζηλωταὶ Πυθαγορισταί. ἀπείχοντο δὲ ἐμψύχων καὶ κατὰ καιρὸν μόνον θυσιῶν ἐγεύοντο. P om.

Suid. s. v. Πυθαγόρας s. fin.; schol. Theocr. 14, 5; anecd. Graec. ed. Villois. I p. 368 (Eudocia).

440 a 27 (ibid.) ὅτι πρῶτος Πυθαγόρας τὸν οὐρανὸν κόσμον προσηγόρευσε διὰ τὸ τέλειον εἶναι καὶ πᾶσι κεκοσμῆσθαι τοῖς τε ζώοις καὶ τοῖς καλοῖς. P deest.

2 κατακεκοσμῆσθαι A: κεκοσμεῖσθαι B. — 3 τοῖς om. A.

Ps. — Plut. plac. phil. II 1 et Stob. ed. Wachsm. I p. 186 (Diels doxogr. p. 327); Diog. Laert. VIII 47; EM.

442 b 24 (cod. 250 Agatharchides) ὅτι οὐδὲ ἀπό τινος τῶν τοῦ Περσέως ἐγγόνων ἀξιοῖ οὗτος καίτοι πολλῶν λεγόντων τὴν κλῆσιν τοὺς Πέρσας κληρώσασθαι· μηδὲ γὰρ ἐκείνους σφᾶς αὐτοὺς Πέρσας παροξυτόνως ὀνομάζειν, ἀλλὰ Περσᾶς, ἐπὶ τέλους τῆς περισπωμένης τιθεμένης. P om.

2 ἐκγόνων B. — πολλῶν ἄλλων λεγ. ς.

443 a 24 (ibid.) ἐπὶ τούτοις τὴν Ἰὼ γεγονέναι μὲν ποταμοῦ θυγατέρα, ταυροκέρῳ δὲ μορφῇ διαπτῆναι βοὸς οἰστρώσης τὸ Ποντικὸν πέλαγος ἀφ' ἧς καὶ τὸν Βόσπορον εἰληφέναι τὴν κλῆσιν. P deest.

Steph. Byz. (Const. Porph. de prov. regni Byz. them. 12); EM.

443 a 34 (ibid.) τὴν δὲ Ἕλλην καὶ Φρίξον ἐπὶ κριοῦ τοῖς ποσὶ πετομένου τὸν πόρον κατανύσαντας, τὴν ἐφ' ἑκάτερα θάλατταν Ἑλλήσποντον ἀφ' ἑαυτῶν προσαγορεῦσαι. P deest.

2 πετομένους codd.: πετομένου Bekk. et Müller (geogr. Gr. min. I p. 114). — 3 ἀφ' ἑαυτῶν Ἑλλήσπ. B.

Steph. Byz.; EM; EGud; Diod. IV 47; Apollod. bibl. I 9, 1; schol. Aesch. Pers. 70; schol. Aristoph. Nub. 257; Eustath. 667, 10.

445 b 33 (ibid.) στολὰς γὰρ αὐτοῖς τε καὶ τοῖς ἵπποις ἀνέ-

δωκε πιλητάς, ἃς οἱ κατὰ τὴν χώραν ἐκείνην προσαγορεύουσι κάσας. P om.

κασᾶς Müller l. d. p. 119.

Poll. VIII 68 κάσσας; Hesych. κασσάς et κάσσον; cf. κάς; Herodian. ed. Ltz. I 63, 9 κασῆς. cf. Xenoph. Cyrup. VIII 3, 6.

448 b 1 (ibid.) οἱ καλούμενοι σηλαγγεῖς· εἰσὶ δ' οὗτοι τεχνῖται πρὸς τὸ πέρας ἄγειν δυνάμενοι τὴν βασιλικὴν χρείαν. P om.

σηλαγγεῖς ς: σηλαγεῖς Bekk.; sed v. 11 et 18 σηλαγγεύς: cf. Müller l. d. p. 127.

454 a 33 (ibid.) ὅτι κέχρηται ὁ συγγραφεύς, ἀττικιστὴς καίτοι ὤν, τῇ τῆς καμάρας λέξει.

P 111 καμάριον· δωμάτιον καμαρωτόν· καὶ ὅλως ἡ καμάρα· Ἑλληνικὸν τὸ ὄνομα.

455 b 23 (ibid.) ὁ δὲ κῆπος ἔχει τὸ μὲν πρόσωπον λέοντι παραπλήσιον, τὸ δὲ σῶμα πάνθηρι, τὸ δὲ μέγεθος δορκάδι, κατὰ τὴν ποικιλίαν καὶ τὴν προσηγορίαν λαβών. P om.; cf. supra 343 a 10.

Diod. III 35, 6; Strabo XVI p. 775, 16; Aelian. de anim. XVII 8.

456 b 15 (ibid.) ἐν δὲ ταύτῃ γίνεται τῇ νήσῳ, φησί, καὶ τὸ καλούμενον τοπάζιον· ἔστι δὲ τοῦτο λίθος διαφαινόμενος, ὑάλῳ προσεμφερής, ἡδεῖαν ἐν χρυσῷ θεωρίαν ἀποδιδούς. P om.

Hesych. πάζιον; Steph. Byz.; Suid.; Zonar.; Diod. III 39, 5; Tzetz. chil. VIII 969; Arethas in Clem. Al. paed. ed. Staehlin p. 334, 34; Eustath. ad Dion. Perieg. 1121.

459 a 15 (ibid.) . . . τὸν εὐώδη καρπὸν τὸν ἐν τῷ περὰν φυόμενον· ἀραβιστὶ δὲ λέγεται λάριμναν. P om.

λάριμναν codd. probante Bekk. et Müller l. d. p. 189; Strabo XVI 778, 19 λάριμνον.

460 a 38 (ibid.) γίνεται δέ τις ἰχθὺς ὑπερβαλλόντως μέλας, ἀνδρὸς ἔχων μέγεθος, ὃν καλοῦσιν αἰθίοπα διὰ τὸ καὶ τοῦ προσώπου σιμὸν ἔχειν τὸν τύπον. P om.

489 a 14 (cod. 262 v. Lysiae) ἀμφιβάλλεται μὲν παρ' ἐνίοις ὁ περὶ τοῦ σηκοῦ λόγος· ὁ σηκὸς δὲ νῦν εἶδός ἐστιν ἱερᾶς ἐλαίας.

P 438 Σηκός· τάττουσι τὸ ὄνομα καὶ ἐπὶ ἐλαίας· λέγει γὰρ Λυσίας· (7, 10) 'ὃς δύο ἔτη ἐγεώργησεν οὔτε ἰδίαν ἐλαίαν οὔτε μορίαν οὔτε σηκόν'. μήποτε οὖν τὰς μὲν ἰδιωτικὰς καλοῦσιν ἐλαίας, τὰς δὲ δημοσίας μορίας· σηκὸν δέ, ὡς ἔοικεν, καὶ μορίαν ὀνομάζουσι τὴν αὐτήν. ex Harp. cf. Suid.

IVBekk. 183, 5; VBekk. 304, 18; EM.

495 a 15 (cod. 265 v. Demosthenis) οὗτός ποτε κωλυόμενος ὑπ' Ἀθηναίων ἐν ἐκκλησίᾳ λέγειν, βραχύ τι προσδιαλεχθῆναι αὐτοῖς ἔφη βούλεσθαι. τῶν δὲ δεξαμένων 'νεανίας τις' ἔφησεν 'ὥρᾳ θέρους ἐξ ἄστεος ὄνον ἐμισθώσατο Μέγαράδε. τῆς δὲ φλογὸς κατὰ τὸ μέσον τῆς ἡμέρας ἐπὶ πλέον ἀναπτομένης, ἑκάτερος αὐτῶν ἔσπευδεν ὑπὸ τὴν τοῦ ὄνου γενέσθαι σκιάν, ὁ μὲν λέγων μεμισθωκέναι τὸν ὄνον, ἀλλ' οὐκ ἐν σκιᾷ, ὁ δὲ μεμισθωμένος, ἕως ἂν αὐτὸν κύριον τοῦ σώματος ἀποφαίνῃ τὸ μίσθωμα, καὶ τὴν ἄλλην ἔχειν ἐξουσίαν τῶν συμβαινόντων διὰ τοῦ σώματος.' καὶ ταῦτα εἰπὼν ἀπῄει, ὀργώσας αὐτῶν τὰς ἀκοὰς πρὸς τὴν τῶν λοιπῶν διήγησιν ἀπολιπών. ἐπισχόντων δὲ αὐτὸν Ἀθηναίων καὶ πέρας ἐπιθεῖναι τῷ λόγῳ δεομένων, ὑπολαβὼν 'εἶτα' ἔφη 'ὑπὲρ μὲν ὄνου σκιᾶς βούλεσθε ἀκούειν, ὑπὲρ δὲ σπουδαίων πραγμάτων καὶ συμφερόντων τῇ πόλει οὐ βούλεσθε;'

6 ὑπὸ] ἐπὶ B.
cf. vitam Demosth. Westermann biogr. Gr. min. p. 289.

P 290 ὄνου σκιά· καὶ περὶ ὄνου σκιᾶς· Σοφοκλῆς Κηδαλίωνι (fr. 108 N) 'ὅτι ἄν τι γίγνηται, τὰ πάντ' ὄνου σκιά'· Ἀριστοφάνης Δαιδάλῳ· (fr. 192 I K) 'περὶ τοῦ γὰρ ὑμῖν ὁ πόλεμος νῦν ἐστί· περὶ ὄνου σκιᾶς.' Ἀριστοτέλης (fr. 582) δὲ ἐν διδασκαλίαις καὶ δράματός τινος φέρει ἐπιγραφὴν Ὄνου σκιάν. οἱ δὲ πρῶτον φθέγξασθαι τοῦτο Δημοσθένην ἀπολογούμενον ὑπέρ τινος ἐπὶ μεγάλαις αἰτίαις κρινομένου. ὡς ἑώρα θορυβοῦντας τοὺς ἀκρωομένους — παρακαλέσας γὰρ αὐτοὺς μικρὰ προσέχειν — ἤρξατο διηγεῖσθαι ὡς Μέγαράδε ἀπιὼν μισθώσαιτο ὄνον· καύματος δὲ ἐν τῇ ὁδῷ γενομένου, ὑπὸ τὴν σκιὰν τοῦ ὄνου βουληθείη ἀναπαύσασθαι· οὐ παρεῖναι γὰρ οὔτε δένδρον οὔτ' ἄλλο τοιοῦτον οὐδέν. τὸν δὲ ὀνηλάτην κωλύειν φάσκοντα, ὄνον αὐτῷ μεμισθωκέναι μόνον, οὐ μὴν καὶ σκιάν· ὥστε διατριβὴν αὐτοῖς καὶ φιλονεικίαν πολλὴν περὶ τούτου γενέσθαι. ταῦτα δὲ εἰπών, ὡς εἶδε τοὺς Ἀθηναίους προσέχοντας σφόδρα καὶ ἡδομένους καὶ ποθοῦντας τὰ ἑξῆς ἀκοῦσαι, ἐπέπληξεν αὐτούς, εἰ περὶ ὄνου μὲν σκιᾶς ἀκροᾶσθαι δέονται καὶ παρακαλοῦσιν, ὑπὲρ δὲ ἀνδρὸς περὶ τοῦ ζῆν κινδυνεύοντος οὐκ ἐθέλουσιν ἀκούειν· δῆλον δὲ ὅτι λεγομένῳ τούτῳ ἐχρήσατο Δημοσθένης· διόπερ καὶ ἐν τοῖς Φιλιππικοῖς (5, 25) παρῳδῶν τὴν παροιμίαν φησὶ διαφέρεσθαι τοὺς Ἀθηναίους περὶ τῆς ἐν Δελφοῖς σκιᾶς. cf. Suid. et Apostol. XII 92.

Zenob. VI 28; Diogen. III 43; VII 1; Harp.; Hesych.; VBekk. p. 243, 30; Arsen. ed. W. p. 386; Apostol. XIV 22a; XVII 69; app. prov. IV 26; schol. Aristoph. vesp. 191; schol. Plat. Phaedr. 260C (p. 272 Herm.); schol. Luc. ed. Rabe p. 215, 1.

495 a 31 (ibid.) Βάταλον δὲ ὀνομασθῆναι οἱ μὲν αὐτόν φασι, διότι νέος ὢν καὶ κωμάζων γυναικείοις ἐσθήμασιν ἀπεκέχρητο· οἱ δὲ ὑποκοριστικῶς αὐτὸν ἐπικληθῆναι τοῦτο ἀπὸ τοῦ ὀνόματος τῆς τροφοῦ λέγουσι λοιδορούμενοι. ἕτεροι δέ φασιν, οἷς καὶ Λιβάνιος ὁ σοφιστὴς ἠκολούθησεν, ὡς νέος ὢν ἀσθενῶς διέκειτο τῷ σώματι καὶ νοσώδης ἦν· διὸ μηδὲ φοιτᾶν εἰς παλαίστραν, ὡς πάντες οἱ τῶν Ἀθηναίων παῖδες εἰώθεσαν· διὰ τοῦτο καὶ ἀνδρωθεὶς εἰς μαλακίαν ὑπὸ τῶν ἐχθρῶν ἐσκώπτετο καὶ Βάταλος ἐπωνομάζετο. ἱστόρηται γάρ τις Ἐφέσιος Βάταλος αὐλητὴς γενέσθαι, ὃς πρῶτος ὑποδήμασι γυναικείοις ἐπὶ τῆς σκηνῆς ἐχρήσατο καὶ μέλεσι κατεαγόσι, καὶ ὅλως τὴν τέχνην ἐμαλάκισεν· ἀφ᾽ οὗ τοὺς ἐκλύτους καὶ ἀνάνδρους Βατάλους ἐπονομάζουσιν.

P deest.

12 ἐπωνόμαζον B.

Harp.; Hesych.; Ba.; VBekk. p. 221, 26; EM; Suid.; Thom. Mag. ed. Ritschl p. 57; Aeschin. de fals. leg. 99; in Timarch. 131; Plut. Demosth. 4; vita Dem. Westerm. biogr. Gr. min. p. 289; Liban. vit. Dem. ibid. p. 294; schol. Aesch. de fals. leg. 99; in Tim. 131; schol. Demosth. de cor. 180.

504 a 31 (cod. 271 Asterius) . . . ὥστε καὶ τὰς τῶν ἐγγιζόντων εἰδωλοποιεῖν μορφὰς καὶ οἱονεὶ κάτοπτρον ἀκριβὲς ἐντυποῦσθαι τοὺς χαρακτῆρας, καὶ τὸ μέσον τοῦ κύκλου διὰ τοῦτο προσηγόρευται κόρη, ὡς ἀεὶ τὴν μορφὴν τῷ κατ᾽ ἀντικρὺ βλέποντι παραδεικνύον ἀνθρωπίνην· εἰς ἀλλήλους γοῦν οἱ ἄνθρωποι βλέποντες ἀλλήλων γίνονται κάτοπτρα. P deest.

509 b 11 (cod. 274 Iohann. Chrys.) δεῖ γὰρ ἀκούσαντα νοῆσαι καὶ νοήσαντα ὑπακοῦσαι κατὰ τὸ γεγραμμένον ʽἄκουσον θύγατερ, καὶ ἰδέ, καὶ κλῖνον τὸ οὖς σου᾽ ἀντὶ τοῦ ὑπάκουσον, νόησον. P om.

510 a 30 (ibid.) σφαιρωτήρ φησι τὸ παρὰ τοῖς πολλοῖς λεγόμενον λωρίον, σφαιρωτῆρα δὲ λέγεσθαι διὰ τὸ πολλάκις κυκλοειδὲς ἀπεργάζεσθαι τὸ δέρμα τὸν τεχνίτην καὶ οὕτω τέμνειν. τινὲς δέ φασι τὴν κλῆσιν λαβεῖν ἀπὸ τοῦ σφυρὰ τηρεῖν.

2 λωρίον] λώριον Bekk.

cf. P 483 σφαιρωτήρ· σανδαλίου ζινίχιον· τὸ λωρίον τοῦ ὑποδήματος. ex Σ. cf. Ba. et Suid.

Hesych.; EM; EGud.

524 b 9 (ibid.) ὅτι δράκοντα πολλάκις ἡ γραφὴ καλεῖ τὸν διάβολον καὶ ὄφιν σκολιόν. P deest.

Arethas comm. in apocal. XII 3 ed. Cramer (catenae VIII) p. 354, 10.

529 b 27 (cod. 279 Helladius) ὅτι φλυαρεῖ καὶ οὗτος τὸν Μωσῆν ἄλφα καλεῖσθαι, διότι ἀλφοῖς τὸ σῶμα κατάστικτος ἦν, καὶ καλεῖ τοῦ ψεύδους τὸν Φίλωνα μάρτυρα. cf. Ptolem. Heph. 151 b 9.

In Philone, quem habemus, nihil invenitur. (cf. Hercher Über die Glaubwürdigkeit d. Neu. Gesch. d. Ptolem. Ch., Fleckeisen. annal. suppl. 1855/56 p. 291.)

529 b 29 (ibid.) ὅτι Διονύσιός (fr. 333 Schwabe) φησι μὴ λέγειν τοὺς ἀττικιστὰς ὠνησάμην, ἀλλ᾽ ἀντ᾽ αὐτοῦ τὸ ἐπριάμην, καίτοι καὶ ὠνεῖσθαι καὶ ὠνήσατο καὶ ὠνούμενος καὶ τὰ ἄλλα λέγοντας. P deest.

Herodian. ed. Piers. p. 333; Phrynich. ed. Lob. p. 137; ed. Rutherf. p. 218; Poll. III 126; schol. Aristoph. Plut. 7; Moschop. syllog. ed. Paris. 1532 (sine paginarum numeris; pagina inde a fine libri undevicesima). [Moeris p. 214, 18 Bekk.] cf. IIBekk. p. 95, 25; EGud p. 636, 3.

529 b 32 (ibid.) ὅτι καλὸς καὶ ἀγαθὸς οἱ Ἀττικοὶ λέγοντες ἀγαθὸς καὶ καλὸς οὐ λέγουσιν· καίτοι λέγοντες ἀγαθὴ τύχη λέγουσι καὶ τύχη ἀγαθή.

P 111 καλὸς κἀγαθὸς λέγεται κατὰ συναλοιφήν, οὐχὶ καλὸς καὶ ἀγαθός. cf. Suid. P 8 (R.) ἀγαθῇ τύχῃ· τοῦτο προγραφόμενον οἴονταί τινες [...] ἔνιοι δὲ προστιθέασι τὸ καὶ θεός, ὡς Πλάτων ἐν γ′ νόμων· κτλ.

529 b 35 (ibid.) ὅτι ὑπὸ μάλης λέγουσι συντιθέντες, αὐτὴν δὲ καθ᾽ ἑαυτὴν μάλην οὐ λέγουσι· καὶ κιθάραν λέγοντες λέγουσι καὶ κιθαριστήν, λύραν δὲ λέγοντες λυριστὴν οὐ λέγουσιν.

cf. P 544 ὑπὸ μάλης· τὸ ὄνομα μὲν κεῖται παρὰ τοῖς ῥήτορσιν· ὅταν μὲν οὖν ἑνικῶς λέγουσιν, οὕτως αὐτὸ πάντες τάττουσιν μετὰ τῆς προθέσεως, ὅταν δὲ πληθυντικῶς, οὐ μάλας λέγουσιν, ἀλλὰ μασχάλας. Λυσίας (fr. 144) ‘καὶ τὴν μὲν κόμην ψιλὴν ἔχεις, τὰς δὲ μασχάλας δασείας.’ et ὑπὸ μάλης· μάλην δ᾽ οὐ λέγουσιν, ἀλλὰ μασχάλην.

Phrynich. ed. Lob. p. 196; ed. Rutherf. p. 282; Moeris; Poll. II 139; IVBekk. p. 194, 7; VBekk. p. 313, 3; EM; Suid.; Thom. Mag. ed. R. p. 236, 8; schol. Plat. Gorg. 469D (p. 311 Herm.); Eustath. 1631, 35; Reitzenstein Gesch. p. 395, 17.

529 b 37 (ibid.) ὅτι οὗτος μέν φησιν οὐχὶ Μαγνῆτιν ἀλλ' Ἡράκλειαν καλεῖσθαι τὴν λίθον, ἥτις ἕλκει τὰ σιδήρια· πολλοὶ δὲ ἄλλοι τὴν αὐτὴν καλεῖσθαι καὶ Μαγνῆτιν καὶ Ἡράκλειαν λέγουσιν, ἀποδιδόντες καὶ τὰς αἰτίας τῆς διαφόρου ὀνομασίας.

2 Ἡράκλειαν C: Ἡρακλείαν ς.

cf. P 64 Ἡρακλείαν λίθον· τινὲς τὴν Μαγνῆτιν ἀπέδοσαν διὰ τὴν Ἡρακλείαν τῆς Μαγνησίας· ἔνιοι δέ, ὅτι ἡ μὲν ἐπισπωμένη τὸν σίδηρον Ἡρακλεῶτις, ἡ δὲ Μαγνῆτις ὁμοία ἐστὶν ἀργύρῳ, ὡς Εὐρ. Οἰν. (fr. 567 N) κτλ. cf. Suid. Ἡρακλεῶτις λίθος, ὁ ὑφ' ἡμῶν μάγνης, ὁ ἐπισπώμενος τὸν σίδηρον· Ἡράκλεια γὰρ ἐλέγετο ἡ Μαγνησία.

Hesych.; EGen (Reitzenstein Gesch. p. 63); EM; Zonar.; Phot. Amphil. 131 (Migne vol. CI p. 725); schol. Plat. Ion. 533 D (p. 328 Herm.); Eustath. 338, 24. cf. Psellus Bull. corr. Hell. II p. 206, 16.

530 a 2 (ibid.) ὅτι τοῦ μὲν ἀνδρὸς τὸν ἀδελφὸν αἱ γυναῖκες δαέρα καλοῦσι, τὴν δὲ ἀδελφὴν οὐκέτι δάειραν, ἀλλὰ γάλον, καθὼς καὶ Ὅμηρός φησιν (Γ 122) 'εἰδομένη γαλόῳ Ἀντηνορίδαο δάμαρτι'. καὶ θεῖον μὲν ὀνομάζουσι τὸν τοῦ πατρὸς ἀδελφόν, οὐκέτι δὲ θείαν τὸ θῆλυ, ἀλλὰ τηθίδα. καὶ πάππον μέν φασι τὸν πατέρα τοῦ πατρός, μάμμην δ' οὐκέτι τὴν τοῦ πατρὸς μητέρα, ἀλλὰ τιθήν· μάμμας δὲ οἱ παλαιοὶ τὰς αὑτῶν μητέρας καλεῖν εἰώθεσαν.

P 505 Τηθίς· θεία· πατρὸς ἢ μητρὸς ἀδελφή. ex Σ. cf. Ba. et Suid. P 327 πάππας· τοὺς πατέρας καλοῦσιν. P 211 μάμμην. τὴν μητέρα καλοῦσι, καὶ μαμμίαν· καὶ τὸν πατέρα πάππαν καὶ παππίαν. P 505 τήθη· μάμμη· ἡ πατρὸς ἢ μητρὸς μήτηρ. cf. Suid.

δαήρ — δάειρα — γάλως: Apoll. Soph.; Poll. III 32; Hesych.; EM; EGud; Suid.; schol. Γ 122; Eustath. 391, 40. θεῖος — θεία — τηθίς: Poll. III 22; Ammon. ed. Valcken. p. 129; Tim. s. v. τήθη; Hesych. ibid.; VBekk. p. 309, 30; EGud s. v. τήθη; Suid. ibid.; Thom. Mag. ed. R. p. 359; schol. Aristoph. Lys. 549; Herodian. ed. Ltz. I 87, 26. — πάππος — μάμμη — τιθή: Herodian ed. Piers. p. 354; Phryn. ed. Lob. p. 133; ed. Ruth. p. 20, 8; Poll. III 16—17; Moeris; Hesych.; VBekk. p. 309, 29; EM s. v. τηθή; Thom. Mag. s. v. τίθη ed. R. p. 359; Eustath. 316, 10; 365, 29; 565, 30; 971, 24 (cf. Aristoph. Byz. fr. IX N et Miller Mél. p. 431, 13); 1871, 35; schol. Plat. reip. 343 A (p. 334 Herm.).

Pro τιθήν (7) in Helladio fortasse τηθήν vel potius τήθην scribendum est; sed cf. Ruhnken ad Tim. s. v. τήθη: „Perpetua est confusio vocum τήθη, τίθη, τίτθη, τηθίς, τιτθίς· in quibus scribendis tam parvum sibi constant librarii quam in iis explicandis et distinguendis grammatici."

530 a 12 (ibid.) ὅτι τὰς νῦν λεγομένας κουρίδας οἱ Ἀττικοὶ κομμωτρίας ἐκάλουν. εὕρηται δὲ παρὰ Μενάνδρῳ (fr. 1024 K) καὶ τὸ κουρίδα. P deest.

Poll. II 31; VII 165; Moeris; Hesych.; Ba.; EM; EGud; Suid.; Zonar.; schol. Aristoph. Eccl. 737; schol. Plat. reip 373 C (p. 336 Herm.); κουρίς Poll. II 32 in instrumentis enumeratur.

530 a 15 (ibid.) ὅτι ὁ στίχος ὁ καὶ παροιμιαζόμενος ‘ὅρκους ἐγὼ γυναικὸς εἰς ὕδωρ γράφω’ ἐστὶ μὲν Σοφοκλέους (fr. 742 N), τοῦτον δὲ παρῳδήσας ὁ Φιλωνίδης (fr. 7 K) ἔφη ‘ὅρκους δὲ μοιχῶν εἰς τέφραν ἐγὼ γράφω’· οἱ δὲ τὰς γυναῖκας σκώπτοντές φασιν ‘ὅρκους ἐγὼ γυναικῶν εἰς οἶνον γράφω.’ (Xenarchi fr. 6 II 470 K) P om.

5 οἶκτον codd.: οἶνον Ruhnken; cf. Meineke fr. com. Gr. III 620.

Phrynich. ed. Bekk. 55, 17; Athen. p. 441 E; Macar. VI 48; cf. schol. Luc. ed. Rabe p. 50, 18.

530 a 29 (ibid.) ὅτι ἀνθρακεὺς ὁ ἐν τῇ συνηθείᾳ καλούμενος καρβωνάριος. P om.

Poll. VII 110.

530 a 38 (ibid.) ὅτι τὸ μόγις ἀναλογώτερον διὰ τοῦ γ̄, φησί, γράφεται, ἐπὶ τῶν μετὰ πόνου γινομένων ταττόμενον· οἱ δὲ Ἴωνες καὶ Αἰολεῖς παραλόγως διὰ τοῦ λ̄ μόλις λέγοντες ἐκφέρουσι καὶ γράφουσιν. P deest.

Testimonia alia docent.

530 b 2 (ibid.) ὅτι τὸ ὦ τάν δύο μέρη φησὶν εἶναι, τὸ μὲν ὦ καθ' αὑτό, τὸ δὲ τάν κατὰ ἀποβολὴν τοῦ ε̄· τὸ γὰρ πλῆρες ἐτάν ἐστι καὶ συναλιφέντος τοῦ ω̄ γέγονεν ὠτάν· ἐτάν γὰρ ὁ ἀληθὴς φίλος· καὶ γὰρ ἐτεὸν τὸ ἀληθές.

P 491 τᾶν· ἑταῖρε· ἢ σύ. ex Σ. cf. Ba. et Suid.

1 δύο add. C et ms. Meursii. — 3 ὠτάν· ἔτης γὰρ ms. Meursii: ὠτὰν γὰρ ς.

Moeris; Tim.; Hesych.; Orio; EGen; EM; EGud; Apoll. Dysc. ed. Schn. p. 159, 10; Herodian. ed. Ltz. II 609, 24; schol. Aristoph. Plut. 66; schol. Plat. apol. 25 C (p. 229 Herm.); schol. Dion. Thr. ed. Hilg. p. 281, 21; schol. Luc. ed. Rabe p. 91, 18; Eustath. 24, 16.

530 b 6 (ibid.) ὅτι νεκρός λέγεται κατὰ στέρησιν τῆς κηρός, νήκηρός τις ὢν καὶ νέκηρος· καὶ κατὰ συγκοπὴν νεκρός· τὸ γὰρ νη̄ στερητικὸν καὶ νε̄ φασί. διὸ καὶ νεβρός ὁ μήπω δυνάμενος νομῆς καὶ βορᾶς μετασχεῖν, γάλακτι δὲ μόνῳ τρεφόμενος. καὶ νέκταρ, οὗ μή ἐστι δυνατὸν τοῖς θνητοῖς, τουτέστι τοῖς κτεινο-

μένοις, μετασχεῖν· ἔστι γὰρ κτάρ ῥηματικὸν ὄνομα ἀπὸ τοῦ ῥήματος παρηγμένον τοῦ κτῶ τοῦ δηλοῦντος τὸ κτείνω.

P 250 νεβρός· ἐλάφου γέννημα· οἱονεὶ ἐπὶ τὴν βορὰν ἑξιὸν καὶ νεόμενον. cf. Apoll. Soph. P 251 s. v. νεκτάρεον . . . καὶ νέκταρ· θεῶν πόμα· καὶ οἶνος οὕτως, ὡς Ἀναξανδρίδης (fr. 57 II 160 K)· καὶ τὸ βρῶμα τῶν θεῶν ὁ αὐτός. P 252 νέκταρ· θεῖον πόμα (Ba θεῶν).

νεκρός (1): Orio; exc. Orion. ed. Sturz p. 615, 30; Epim. ed. Cram. an. Ox. I p. 251, 14; EGen; EM p. 142, 5; 599, 48; EGud. s. v. νείκω et νεκρός; Zonar.; Choerob. Epim. ed. Gaisf. p. 138, 10; 166, 24; Eustath. 668, 55. — νεβρός (3): Orio; Epim. ed. Cram. an. Ox. I p. 251, 14; EGen; EM; EGud; Eustath. 1498, 38. Vox aliter derivatur ab his: Apoll. Soph.; Cram. an. Ox. II p. 393, 24; Zonar.; schol. Θ 248; Eustath. 711, 29; 1663, 34; 1863, 39; cf. praeterea loc. supra mem. — νέκταρ (5): Aristot. metaph. B p. 1000a 12; Apoll. Soph.; Orio; Epim. ed. Cram. an. Ox. I p. 296, 5; 251, 14; EGen; EM; EGud.

530 b 14 (ibid.) ὅτι τὸ ὦ οἱ ἄρθρον κλητικὸν ὑπειληφότες πλανῶνται· τὰ γὰρ ἄρθρα οὐ χρήζουσι κλητικῆς· καὶ γὰρ αὐτὰ μὲν τῶν μὴ παρόντων τὴν ἀναφορὰν δηλοῖ, τὸ δὲ ὦ κατ' ἐνέργειαν μόνον τῆς δείξεως τῇ κλητικῇ προσῆλθεν. ὅτι δὲ ἁμαρτάνουσιν οἱ νομίζοντες αὐτὸ κλητικήν, καὶ ὁ χρόνος καὶ ὁ τόνος δηλοῖ καὶ τὸ πνεῦμα. καὶ γὰρ ψιλοῦται, τῶν ἄλλων ἄρθρων, ὅσα πνεῦμα δέχεται, δασυνομένων· καὶ τὰ μὲν ὀξύνεται, τὸ δὲ περισπᾶται· καὶ τὰ μὲν βραχύνεται, τὸ δὲ μακρόν ἐστι φύσει. ὅτι δὲ οὐκ ἔστι τῆς ὁ εὐθείας τὸ ὦ κλητικόν, κἀντεῦθέν ἐστι καταφανές· ἡ κλητικὴ τῇ ἰδίᾳ εὐθείᾳ ἰσοχρονεῖ ἢ τὸν ἐλάττω ἀναδέχεται χρόνον, οἷον Ἀγαμέμνων καὶ ὦ Ἀγάμεμνον· ἐνταῦθα δὲ τοὐναντίον. οὐκ ἔστιν οὖν ἄρθρον ἀλλ' ἐπίρρημα. συντάττεται δὲ ὅμως τῇ κλητικῇ, ἐπίρρημα ὄν, ὥσπερ καὶ ἄλλα τῶν ἐπιρρημάτων γενικῇ συντάττεται, ὡς ⟨τὸ * *⟩ παρὰ τῷ ποιητῇ ἐν τῇ ω' τῆς Ὀδυσσείας (v. 77, 78?), καὶ αἰτιατικῇ τὸ νή καὶ τὸ μά· καὶ γὰρ ὀμνύντες αἰτιατικῇ συνάπτουσι τὰ ἐπιρρήματα ταῦτα. Nihilominus P 569: ὦ· τὸ μὲν ἄρθρον περισπωμένως· τὸ δὲ σχετλιαστικὸν ὀξυτόνως.

5 ὁ add. C — 14 τὸ addidi et lacunam indicavi; cf. schol. Dion. Thr. ed. Hilg. p. 257, 33 sq. — 16 ὀμνύντες C: ὀμνύοντες ς.

Dion Thr. ed. Uhl. p. 62, 5 articulum esse censet; adverbium esse docent: Herodian. ed. Ltz. I 473, 32; Apoll. Dysc. ed. Schn. p. 6, 10; Epim. ed. Cramer. an. Ox. I p. 451; Theognost. ibid. II p. 154; schol. Dion. Thr. ed. Hilg. p. 257, 33; EM p. 79, 13; 618, 12; 822, 36; 825, 14; EGud; Eustath. 1102, 32; Moschopul. ed. Titze p. 39.

530 b 31 (ibid.) ὅτι τὸ κνέφας οἱ μέν φασιν ἀπὸ τοῦ κενέφας γενέσθαι· κενὸν γάρ ἐστι φάους· οἱ δὲ κατὰ πλεονασμὸν τοῦ κ̄· νέφος γὰρ εἶναι καὶ νέφας τὸ αὐτοτελές, διὰ τοῦ νε̅ στερητικοῦ τὸ ἐστερημένον τοῦ φωτὸς ὑποσημαῖνον· ὥσπερ καὶ τὸ κτύπος γέγονε κατὰ πλεονασμὸν τοῦ κ̄· τύπος γάρ ἐστιν ὁ κτύπος, ῥηματικὸν ὄνομα παρὰ τὸ τύπτω. καὶ τὸ καίνυτο, αἴνυτο ὄν, περισσὸν ἔχει τὸ κ̄· καὶ τὸ καῦρος· αὖρος γάρ ἐστιν, οἷον ὁ κατὰ νοῦν ἐλαφρός.

cf. P 149 κνέφας· σκότος· νύξ. ex Σ. cf. Ba. et Suid. P 131 καυρός· κακός· οὕτως Σοφοκλῆς (fr. 895 N).

κνέφας (1): Hesych.; Epim. ed. Cram. an. Ox. I p. 251, 7; EGen; EM; EGud; Eustath. 138, 29; 1354, 1; Zonar. — κτύπος (5): Orio; Epim. ed. Cram. an. Ox. I p. 254, 29; EGen; EM; EGud; Zonar. — καίνυτο (6): EM s. v. ἀπομαίνυμαι; EGud s. v. αἴνυτο. — καῦρος (7): Herodian. ed. Ltz. I 193, 5; Orio; EGen; EM; EGud; exstat forma γαῦρος: Orio; Epim. ed. Cram. an. Ox. I p. 354, 34; EM; EGud; explicatio οἷον ὁ κατὰ νοῦν ἐλαφρὸς intellegitur ex glossa Hesychii αὖροι· λαγοί. Lepus est bestia celerrima; καῦρος igitur est, qui tam celer est in cogitando, quam lepus in currendo.

530 b 40 (ibid.) ὅτι τὴν Μοῦσαν οἱ μὲν ἐτυμολογοῦσιν ἀπὸ τοῦ μυοῦσάν τινα εἶναι· ἡ γὰρ μουσικὴ παίδευσις οὐδὲν μυστηρίων διαφέρει. οἱ δὲ παρὰ τὸ μαάσαι· τὸ γὰρ ζητεῖν Δωριεῖς λέγουσι μῶ, καὶ μῶται τὸ τρίτον πρόσωπον παρ' Ἐπιχάρμῳ (fr. 117 K), καὶ μῶνται παρ' Εὐφορίωνι (fr. 175 Scheidw.), καὶ μώμεναι ἡ μετοχὴ παρὰ Σοφοκλεῖ· εὐλογώτερον οὖν τὴν Μοῦσαν ἐντεῦθεν εἰρῆσθαι, παντὸς νομιζομένην εὑρέτιν μαθήματος· μαίεσθαι δὲ καὶ Ὅμηρος οἶδε τὸ ζητεῖν, καὶ μαῖάν φαμεν τὴν ζητοῦσαν ἰατρὸν τὸ κρυπτόμενον.

cf. P 245 μῶ· τὸ μῦ στοιχεῖον· Δημόκριτος (fr. 19 Diels). P 244 μῶν ἄρα· σημαίνει σύνδεσμον ἐπιζητητικόν· τὸ γὰρ μῶσθαι ζητεῖν. P 207 Μαῖαν· ὡς ἡμεῖς τὴν ὀμφαλητόμον· ἡ δὲ ὀμφαλητόμος Ἀττικὸν μᾶλλον ὄνομα· καὶ μαιεύεσθαι λεκτέον, οὐχὶ μαιοῦσθαι.

Μοῦσα (1): Plat. Crat. 406 A; Diod. IV 7; Cornut. theol. Gr. comp. cap. 14; Herodian. ed. Ltz. II 2, 3 = Epim. ed. Cram. an. Ox. I p. 278, 19; Choerob. in Theodos. can. ed. Hilg. p. 309, 35 (ed. Gaisf. 331, 32); Suid.; EM; EGud; Eustath. 9, 34. — μῶ (4): Orio s. v. μαιμώωσα, μαστοί, μῶμος. — μαίεσθαι (8): Plat. Crat. 421 A; Apoll. Soph.; Hesych.; Eustath. 814, 32. — μαῖα (8): Cornut. theol. Gr. comp. c. 16; EM; EGud.

531 a 8 (ibid.) ὅτι ἡ μάκαρ, φησί, μονήρης ἐστὶ λέξις, καὶ ἐν τοῖς θηλυκοῖς τὸ δάμαρ· τὸ δὲ μάκαρ ἐκ τοῦ μακάριος ἀποκέκοπται, ὥσπερ καὶ τὸ ὑμέναιε γέγονεν ἀποκοπὲν ὑμέν. P om.

Herodian. ed. Ltz. I 46, 26; 523, 20; II 12, 10; 575, 25; Apoll. Dysc. ed. Schn. p. 88, 5; Orio; Epim. ed. Cram. an. Ox. I p. 275, 1; Choerob. in Theodos. can. ed. Hilg. p. 296, 22 (Gaisf. 84, 9); ibid. in onom. ed. Hilg. p. 297, 2 (Gaisf. 316, 12); EM; EGud; cf. Eustath. 1542, 30.

531 a 11 (ibid.) ὅτι τὸ μακκοᾶν ἀρχαϊκῶς ἐστὶ τὸ μὴ ἀκούειν ἢ τὸ μὴ κόειν, ὅπερ τὸ νοεῖν ἐδήλου. Καλλίμαχος δ' ἐν Ἑκάλῃ ἐκόησέ φησιν ἀντὶ τοῦ ἐνόησεν (fr. 53 Schn.).

P 208 μακκοᾶν· παραφρονεῖν· κοᾶν γὰρ καὶ κοεῖν τὸ νοεῖν, τὸ φρονεῖν.

Poll. II 16; Hesych.; Orio; EGen; EM; EGud; Suid.; Zonar.; anecd. Bachm. II 312, 13; Herodian. ed. Ltz. I 456, 4; Choerob. in Theod. can. ed. Hilg. p. 162, 24 (Gaisf. 656, 7); schol. Aristoph. equ. 62; Eustath. 636, 58; 1905, 28.

531 a 14 (ibid.) ὅτι τὸ μακάριός τινες ἐτυμολογοῦσιν ἐκ τοῦ μηκήριος, οἷον ἐκ τοῦ μὴ κηρὶ ὑποκεῖσθαι τὸν ἀθάνατον· ἢ ἐκ τοῦ ἀκήριος, κατὰ πλεονασμὸν τοῦ μ̄ μακάριος. P om.

Orio; exc. Orion. ed. Sturz 615, 15; Epim. ed. Cram. an. Ox. II p. 390, 18; EM; EGud (cf. Reitzenstein Gesch. p. 152); Choerob. in Theod. can. ed. Hilg. p. 296, 38 (Gaisf. 84, 16 et 315, 33); Choerob. in psalt. ed. Gaisf. p. 4, 28; gramm. incertus (Schäfer in editione Gregor. Cor. de dial. p. 574 adn. f.); Eustath. 114, 31; 757, 49; 1447, 11.

531 a 17 (ibid.) ὅτι τὸ ἄλευρον κατὰ πλεονασμὸν τοῦ μ̄ ἔστιν εὑρεῖν μάλευρον· καὶ τὸ μία δὲ ἐκ τοῦ ἴα γεγονὸς κατὰ πλεονασμὸν ἔχει τὸ μ̄.

P 210 μάλευρον· τὸ ἄλευρον· Ἀχαιός.

ἄλευρον: Herodian. ed. Ltz. II 548, 5; Hesych. (μάλευρ.); Orio s. v. μάχη; Epim. ed. Cram. an. Ox. I p. 274, 17; Choerob. in Theod. can. ed. Hilg. p. 296, 37 (Gaisf. 316, 9); Choerob. in psalt. ed. Gaisf. p. 4, 28; EGud s. v. μάχη; Zonar. (μάλευρον). — μία: Apoll. Soph.; Herodian. ed. Ltz. I 285, 22; 531, 3; II 13, 6; Cram. an. Ox. III p. 290, 25; Orio s. v. μάχη; EGud s. v. μία, ἰῇ, ἴγδη; Gregor. de dial. ed. Schäf. p. 622; Eustath. 663, 26; Zonar.

531 a 30 (ibid.) ὅτι τὸ τέττα, ὃ παρ' Ὁμήρῳ (Δ 412) κεῖται εἰρημένον ὡς ἀπὸ τοῦ Διομήδους πρὸς Σθένελον, γραφικῆς ἐστὶ πλάνης· τί ποτε γὰρ δηλοῖ τὸ τέττα, μέχρι νῦν οὔπω συνομολογεῖται. ἀλλ' οἱ μὲν σεπτικὴν αὐτὸ φωνὴν εἶναι φίλου πρὸς ἑταῖρόν φασιν, οἱ δὲ 'κώτιλλε ὦ οὗτος', ἄλλοι δὲ πάλιν 'σὲ λέγω'. οἱ πλείους δὲ τῶν γραμματικῶν νεωτέρου φασὶν εἶναι

προσφώνησιν εἰς πρεσβύτερον· καίτοι γε οὐδ' ἔχουσι δεῖξαι Διομήδην Σθενέλου νεώτερον. οὐ μὴν ἀλλ' οὐδὲ φαίνεται Ὅμηρος ἀλλαχοῦ χρησάμενος τῇ φωνῇ, ἵν' ἐκ τῆς ἀλλαχόθι φανερᾶς διανοίας καὶ τὸ ἐνταῦθα τῆς λέξεως ἀνακαθαρθείη ἀμφίβολον, ὥσπερ ἐπὶ τοῦ ἐλλὸς ἐποίησε· καὶ γὰρ εἰπὼν ἐκεῖ 'προτέροισι πόδεσσιν ἐλλὸν εἷλε ποικίλον κύων' (τ 228), τὸ ἄδηλον τῆς λέξεως διεσάφησεν ὑποκατιών, νεβρὸν τὸν ἐλλὸν ὀνομάσας· ὡσαύτως καὶ τὸ λάε (τ 230)[1]) ἐκ τῆς ἐτυμολογίας σαφῆ παρίστησι τὴν φωνήν, ἐπεὶ ἀλαός ἐστιν ὁ μὴ βλέπων τὸ φῶς· ἢ ὅτι τὸ λάειν τὸ ἀπολαυστικῶς ἔχειν ἐστίν, ὅπερ δείκνυσιν ἐμφατικωτέραν διάθεσιν. καὶ ἄλλα δέ ἐστι ξενίζοντα ἐν τοῖς Ὁμήρου, μεθ' Ὅμηρον δὲ τοῖς νεωτέροις σαφῆ τῇ χρήσει γεγονότα καὶ τὴν λύσιν τῆς ἀπορίας ἐπιδεξάμενα. τὸ δὲ τέττα οὐδὲν τοιοῦτον τῆς ἀγνωσίας καὶ τοῦ μὴ διημαρτῆσθαι ἐξείλετο. οὐ τοίνυν τέττα δεῖ γράφειν, ἀλλὰ τέτλα, τῆς ἐπὶ τέλους συλλαβῆς ἀποκοπείσης τοῦ τέτλαθι. καὶ γὰρ ἔστιν εὑρεῖν τὸ τέτλα λεγόμενον παρὰ διαφόροις, ὡς καὶ Ἄρατός φησιν ἐν Χαρίτων πρώτῃ τέτλα· διὸ καὶ τὸν παρ' Ὁμήρῳ στίχον τινὲς οὐ τέττα ἀλλὰ τέτλα προήνεγκαν ἀναγινώσκοντες, καὶ ἐπισημηνάμενοι, ὡς ἡ ἀπάτη γέγονεν ἐκ τοῦ τινὰς τὸ δεύτερον τ̄ ἀντὶ τοῦ λ̄ λαβεῖν, τῆς βραχυτέρας γραμμῆς τοῦ λ̄ φαντασίαν αὐτοῖς τῆς ὀρθῆς κεραίας τοῦ τ̄ παρασχομένης, τῆς δὲ μείζονος τῆς ἐπικειμένης ἐγκαρσίας.

11 ἐλλὸς] ἔλλον et sic ubique Bekk.: emendavi. — πρότερον πόδεσιν Bekk.: emendavi.

P 182 λάων· δεδορκώς· διὸ καὶ κατὰ ἀπόφασιν ἀλαὸς ὁ τυφλός· ἔνιοι δὲ ἀπέδωκαν φθεγγόμενος· μαχόμενος ἄμφω.

τέττα (1): Apoll. Soph.; Hesych.; EM; Suid.; Zonar.; schol. Δ 412; Eustath. 490, 38; 659, 52. — ἐλλός (11): Apoll. Soph.; Hesych.; Choerob. de spir. (ed. Valckenaer in Ammonio) p. 195; EM s. v. ἐλλόποδες et μώλωψ; Eustath. 1863, 39; Zonar. s. v. Ἐλλοφόνος. — ἀλαός (15): Apoll. Soph.; Hesych. s. v. ἀλαός et λάων; Orio; Epim. ed. Cram. an. Ox. I p 77, 24; EM; EGud s. v. ἀλαός, λέων, μέλαν; Suid.; Zonar.; schol. N 10; α 229; schol. Eur. Ph. ed. Schw. 1531; Eustath. 857, 45; 1392, 31; 1863, 41; anecd. Bekk. p. 1095. — λάειν — βλέπειν: cf. testimonia vocis ἀλαός; praeterea Orio s. v. μέλαν; exc. Orion. ed. Sturz p. 615, 26; EM s. v. λαγώς et λημῶ; Suid. — λάειν — ἀπολαύειν (16): cf. testim. supr.; praeterea Orio s. v. λαιμός; EM ibid.

531 b 24 (ibid.) ὅτι ἀναλογώτερον ἡ χροιά, κατὰ πάθος

1) Helladius verbum „aspiciebat" significare putabat.

δὲ ἐκλειπτικὸν ἡ χρόα καὶ ἡ βοτάνη ποιὰ μᾶλλον ἡ πόα λεγομένη.

P 376 πόα· ἑκάστη βοτάνη οὕτως λέγεται· ἡ δὲ σμήχουσα ποία λέγεται παρὰ Δημοσθένει και Λυσίᾳ (fr. 324). ex Σ. cf. Ba. et Suid.

Herodian. ed. Ltz. I 301, 19; 302, 2; II 279, 21; Epim. ed. Cram. an. Ox. I p. 367, 13; Choerob. in psalt. ed. Gaisf. p. 93, 27; EM s. v. ὄα, ῥοιά, πόα; Suid.; Gregor. de dial. ed. Schäf. p. 220; Eustath. 94, 1; Zonar.

531 b 26 (ibid.) ὅτι τὸ ἄττα φησὶ ψιλοῦσθαι· οἱ δὲ ἄλλοι ἀκριβέστερον εἰς τὰ σημαινόμενα διαιροῦντες, οἰκειότερον καὶ περὶ τῶν πνευμάτων διείλοντο. P deest.

Harp.; VBekk. p. 197, 9; Ba.; Phot. Amphil. XXI (Migne p. 152 D); EM; EGud s. v. ἀταλός; Thom. Mag. ed. R. p. 19, 11; schol. Plat. Soph. 220 A (p. 250 Herm.); schol. Luc. ed. Rabe p. 240, 7.

531 b 28 (ibid) ὅτι τὸ ἐλαύνω παράλογόν ἐστι, φησί· πρὸ τέλους γὰρ ῥῆμα σύμφωνον ἔχον καὶ παραλήγουσαν τὴν αυ οὐδέποτε βαρύνεται· δυοῖν γὰρ θάτερον, ἢ καθαρεῦον βαρύτονόν ἐστιν, ἢ σύμφωνον ἔχον περισπᾶται. τοῦ μὲν ψαύω, φαύω, ἐξ οὗ καὶ τὸ ἔφαυσε· τοῦ δευτέρου δὲ ἀμαυρῶ καὶ τὰ ὅμοια. τὸ δὲ χαύνω παραλόγως βαρύνεται. τεχνολογοῦσι δὲ τὸ ἐλαύνω οἱ μὲν ἀπὸ τοῦ ἐλῶ ἐλαύνω· τινὲς δὲ ὥσπερ ἀπὸ τοῦ βῶ βαίνω, οὕτω φασὶ καὶ ἀπὸ τοῦ ἐλῶ γέγονεν ἐλαίνω, καὶ μεταθέσει τοῦ διχρόνου ἐλαύνω. πλὴν μονῆρές ἐστι τὸ ἐλαύνω, καὶ διὰ τοῦτο οὐδὲ κλίσιν βεβαίαν ἔχει. ἑτερόκλιτος οὖν ἐστὶν ὁ παρακείμενος· ἀπὸ γὰρ τοῦ ἐλάζω γίνεται τὸ ἐλήλακα. P deest.

4 ψαύω add. C.

Herodian. ed. Ltz. I 450, 23; 452, 22; 453, 14; II 929, 3; Orio; Epim. ed. Cram. an. Ox. II p. 367, 22; EGen; EM; EGud; Eustath. 531, 15; 562, 43; 671, 1; 831, 62.

531 b 40 (ibid.) ὅτι ὁ τέ συμπλεκτικὸς ἐγκλίνεται μόνος, ἴσως διότι τοῖς παραπληρωματικοῖς κατὰ φωνὴν συνεμπίπτει. οἱ δὲ Αἰολεῖς ἂν μὲν ὡς συμπλεκτικὸν αὐτὸν παραλάβωσιν, ὁμοίως ἡμῖν ἐκφωνοῦσι τὸν τέ· ἂν δὲ παραπληρωματικῶς, εἰς ō τρέπουσι τὴν συλλαβήν, καὶ τō λέγουσιν ἀντὶ τοῦ τē. P om.

532 a 6 (ibid.) ὅτι τὸ γλωσσοκομεῖον κυρίως μέν ἐστι τὸ ἀγγεῖον, ὃ τὰς αὐλητικὰς ὑποδέχεται γλώσσας· οἱ δὲ νῦν καταχρώμενοι καὶ ἐπὶ τῶν ἕτερά τινα δεχομένων τιθέασι τὴν λέξιν. καὶ τοῦτο μὲν ἀνεκτόν· οἱ δὲ προσδιαστρέφουσι καὶ τὸν τόνον καὶ τὸν χρόνον· δέον γὰρ προπερισπᾶν τὴν παραλήγουσαν μακράν, οὗτοι καὶ συστέλλουσι καὶ προπαροξύνουσιν. P deest.

Herodian. ed. Ltz. II 588, 11; Poll. X 153; Phrynich. ed. Lob. p. 98; ed. Ruth. p. 181; Phrynich. ed. Bekk. p. 32, 28; Hesych.; EM.

532 a 12 (ibid.) ὅτι μάζης μὲν εἶδος οἱ παλαιοὶ θριδακίνην καλοῦσι, τὴν δὲ βοτάνην θρίδακα· οἱ δὲ ἰατροὶ θρίδακα μὲν τὸ ἥμερον λάχανον, θριδακίνην δὲ τὸ ἄγριον καλοῦσιν.

P 82 θριδακίνας· εἶδος μάζης.

Athen. p. 114 F; Poll. VI 46; Phrynich. ed. Lob. p. 130; ed. Ruth. p. 207; Hesych.; Choerob. orthogr. ed. Cram. an. Ox. II p. 218, 22; EGen; EM; EGud; schol. Luc. ed. Rabe p. 195, 16.

532 a 15 (ibid.) ὅτι ὥσπερ τὰ νῦ φαμὲν καὶ τὰ μῦ, πληθυντικῶς ἐκφωνεῖν ἐθέλοντες τὰ στοιχεῖα, οὕτω καὶ τὰ σῖγμα δεῖ λέγειν, ἀλλ᾽ οὐχὶ τὰ σίγματα· καὶ γὰρ ἄκλιτα τῶν στοιχείων τὰ ὀνόματα. διὸ καὶ τὸ παρὰ τῷ Ξενοφῶντι ἐν τοῖς Ἑλληνικοῖς (IV 4, 10) εἰρημένον οὐχ ὑφ᾽ ἓν ʻτὰ σίγματα τῶν ἀσπίδων᾽ ἀναγνωστέον, ἀλλὰ δισυλλάβως μὲν ʻτὰ σῖγμα᾽ καὶ ἀπ᾽ ἄλλης ἀρχῆς ʻτὰ τῶν ἀσπίδων᾽ κατὰ διάστασιν. P om.

Theodos. Alex. ed. Hilg. p. 33, 3; ibid. 340, 11; ibid. Choerob. 344, 8 (Gaisf. 368, 31); ibid. Sophron. 406, 32; schol. Dion. Thr. ed. Hilg. p. 184, 3; 191, 23; Cram. an. Ox. IV p. 319, 6.

532 a 22 (ibid.) ὅτι τὸ ἀρχέτυπον, φασίν, οὐδενὶ τῶν ἀρχαίων συγγραφέων οὐδὲ ῥητόρων οὐδὲ τῶν Μούσαις κατόχων εἴρηται, ὡς Διονύσιος ὁ Ἁλικαρνασεὺς (fr. 77 Schwabe) ἱστορεῖ. P deest.

532 a 25 (ibid.) ὅτι κρήγυον τὸ ἀληθὲς εἴρηται, καρέγγυόν τι ὄν· οἱ γὰρ ἀληθῶς τι πράττειν μέλλοντες ἐγγυῶνται τοῦτο τῇ κεφαλῇ κατανεύοντες. οἱ δὲ κρήγυον οὐ τὸ ἀληθὲς ἀλλὰ τὸ ἀγαθὸν σημαίνειν φασί, καρήδυον ἐτυμολογοῦντες, οἷον ἡδῦνον τὸ κῆρ, τουτέστι τὴν ψυχήν· ἡδύνειν γὰρ πέφυκε τὴν ψυχὴν τὸ ἀγαθόν.

4 καρήδυον] καρήγυον codd.: emendavi; cf. testimonia.

P 153 κρήγυον· ἀληθές· ἀγαθόν. ex Σ. cf. Ba. et Suid.

Erotian. ed. Klein p. 90, 13; Galen. gloss. Hipp. ed. Kühn XIX p. 114; Hesych.; Orio; Epim. ed. Cram. an. Ox. I p. 242, 33; EGen; EM; EGud; Suid.; Zonar.; schol. A 106; schol. Theocr. XX 19; Eustath. 59, 18; 61, 28; 1268, 10.

532 a 36 (ibid.) ὅτι τὸ ἐπιτάξ παρὰ Καλλιμάχῳ (fr. 327 Schn.) καὶ Ἀράτῳ (Phaen. 380) κείμενον ἀπὸ τοῦ ὁριστικοῦ μέλλοντος γέγονε κατὰ ἀποβολὴν τῆς ἐπὶ τέλει μακρᾶς συλλαβῆς, ὥσπερ καὶ τὸ χωρίς (1) τοῦ χωρίσω καὶ τὸ πέλας (2) τοῦ πελάσω καὶ τὸ μίξ ἀπὸ τοῦ μίξω, ὅθεν καὶ τὸ ἐπιμίξ (3) παρ᾽

Ὁμήρῳ (Λ 525, Ξ 60, Φ 16), καὶ τὸ δάξ ἀπὸ τοῦ δάξω· καὶ γὰρ οἱ Ἴωνες ἀπὸ τοῦ δάκνω τὸ δάξω ἐκφέρουσιν· ἐκ δὲ τοῦ δάξ τὸ ὀδάξ (4)· καὶ ἀπὸ τοῦ πτύξω δὲ πτύξ καὶ ἀποβολῇ τοῦ τ πύξ (5). οὕτως οὖν καὶ ἀπὸ τοῦ οὐδίσω οὐδίς καὶ ἀμφουδίς (6), ἀμύξω ἀμύξ (7) παρὰ Νικάνδρῳ (Th. 131), καὶ πλήξω πλήξ καὶ ἀμφιπλήξ (8), καὶ ἀγκάσω ἀγκάς (9), καὶ τύψω τύψ καὶ προτύψ (10). ὡσαύτως καὶ ὀκλάσω ὀκλάς καὶ ὀκλάξ (11), πρίσω πρίς πρίξ καὶ ἀπρίξ (12)· οὕτως οὖν καὶ ἐκ τοῦ ἐπιτάξω ἐπιτάξ (13), ὃ κατ' ἐπίταγμα καὶ κέλευσιν πράττεται

P 351 πέλας· πλησίον· γείτων. P 270 ὀδάξ· τοῖς ὀδοῦσιν ἐνδεδηχότως. ex Σ. cf. Ba. et Suid. P 410 πύξ· γρόνθον. P 96 (R.) ἀμύξ· ἀντὶ τοῦ μόλις· Εὐφορίων (fr. 155 Scheidw.). P 280 ὀκλάξ· οὕτως καὶ οἱ Ἀττικοὶ λέγουσιν ὡς ἡμεῖς.

χωρίς (1): Orio s. v. πέλας; EGud. — πέλας (2): Orio; EM. — ἐπιμίξ (3): Orio s. v. ἐπιτάξ: Epim. ed. Cram. an. Ox. I p. 161, 22; EM s. v. ἐναλλάξ, ἐπιμίξ; EGud s. v. ἀπρίξ, ἐπιμίξ. — ὀδάξ (4): EM s. v. ἀνδρακάς, ὀδάξ; EGud s. v. ἀνδρα⟨κάς⟩, ἐπιμίξ; Zonar.; schol. B 418; α 381; Eustath. 249, 33; 1424, 50. — πύξ (5): Orio; Epim. ed. Cram. an. Ox. I p. 358, 25; EM; EGud s. v. ἀπρίξ, πύξ; schol. Ψ 660; schol. Dion. Thr. ed. Hilg. p. 276, 1; 20; 562, 27; Eustath. 1322, 38. — ἀμφουδίς (6): EM ἀμφοῦδις. — ἀμύξ (7): EM. — ἀμφιπλήξ (8). — ἀγκάς (9): EM; Eustath. 1124, 40. — προτύψ (10). — ὀκλάξ (11): Orio s. v. ὀκλαδιᾶν (legitur ὀκλαδίαι); EM s. v. ἀμύξ, ὀκλαδιᾶν, EGud s. v. ἀπρίξ; schol. Apoll. Rh. III 1308; Eustath. 1769, 14. — ἀπρίξ (12): Epim. ed. Cram. an. Ox. II p. 335, 15; Hesych.; Ba.; EGen; EM; EGud; Suid.; Zonar.; schol. rec. Soph Ai. (Dind. II 206); schol. Plat. Theaet. 155E (p. 239 Herm.) — ἐπιτάξ (13): Orio; EM.

532 b 8 (ibid.) ὅτι τὸ κύρβεις οἱ μὲν Ἀττικοὶ ἀρρενικῶς ἐκφωνοῦσι, Καλλίμαχος (fr. 564 Schn.) δὲ οὐδετέρως. καὶ τὸ φοιτᾶν δὲ Καλλίμαχος (fr. 148 Schn.) παραλόγως εἶπε, 'φοιτίζειν' φάμενος 'ἀγαθοὶ πολλάκις ἠΐθεοι'.

3 φοιτᾶν] codd. φοιτάζειν: em. Schneider l. d.

P 163 κύρβεις· τοὺς κύρβεις φησὶν Ἀπολλόδωρος (fr. 26 FHG Müll. I) ἐγγεγραμμένους ἔχειν τοὺς νόμους· εἶναι δὲ λίθους ὀρθοὺς ἑστῶτας, ὡς ἀπὸ μὲν τῆς στάσεως στήλας καλεῖσθαι, ἀπὸ δὲ τῆς εἰς ὕψος παραστάσεως, διὰ τὸ κεκορυφῶσθαι, κύρβεις· ὥσπερ καὶ κυρβασίαν τὴν ἐπὶ τῆς κεφαλῆς τεθειμένην. Ἀριστοτέλης δέ φησιν ἐν τῇ Ἀθηναίων πολιτείᾳ (VII p. 15, 9 Blass [4])· 'ἀναγράψαντες δὲ τοὺς νόμους εἰς τοὺς κύρβεις ἔστησαν ἐν τῇ στοᾷ τῇ βασιλίδι'. ibid. κύρβεις· τρίγωνοι ἄξονες ἢ

πίνακες, ἔχοντες τοὺς πολιτικοὺς νόμους καὶ τὰς δημοσίας ἀναγραφάς· εἴρηται δὲ ἀπὸ τοῦ κεκορυφῶσθαι εἰς ὕψος ἢ κατεσκειρῶσθαι, ὡς Ἀπολλόδωρος (fr. 24 FHG Müll. I). Θεόφραστος δὲ ἀπὸ τῶν Κρητικῶν Κορυβάντων· τῶν γὰρ Κορυβαντικῶν ἱερῶν οἷον ἀντίγραφα αὐτοὺς εἶναι. ibid. κύρβεις· τρίγωνοι πίνακες, ἐν οἷς οἱ περὶ τῶν ἱερῶν νόμοι ἐγγεγραμμένοι ἦσαν καὶ οἱ πολιτικοί· καὶ ἄξονες δὲ ἐκαλοῦντο οἱ περὶ τῶν ἰδιωτικῶν ἔχοντες τοὺς νόμους καὶ τετράγωνοι.

cf. EM s. v. ἀλίαστος.

532 b 11 (ibid.) . . . ῥύψαι δὲ σημαίνει. βρενθύεται δὲ τὸ ἀλαζονεύεται· γέγονε δὲ ἀπὸ τοῦ βρένθιον, ὅ ἐστι μύρον· οἱ γὰρ ἀλαζονευόμενοι καὶ βρενθυόμενοι μύρῳ χρῆσθαι εἰώθεσαν.

P deest.

3 χρῆσθαι] χρίεσθαι EGen.

βρενθύεται: Moeris; Hesych.; Orio; Ba.; EM; Suid.; Zonar.; schol. Aristoph. nub. 362; Lys. 887; pac. 25; schol. rec. Luc. ed. Iacobitz IV p. 51. — βρένθιον: Poll. VI 104; Athen. p. 690 D—E; Herodian. ed. Ltz. I 372, 11; VBekk. p. 223, 10; Arethas in Clem. Al. Paed. ed. Staehlin p. 329, 26.

532 b 14 (ibid.) ὅτι μύρων εἴδη, φησί, βάκκαρις, ναρκίτανος, στακτή, πλαγγόνιον, ὅπερ εὗρε γυνὴ Ἠλεία καλουμένη Πλάγγων, μετάλλειον, ὅπερ εὗρε Μέταλλος Συρακούσιος.

1 βάκκαρις] βακκάριος Bekk.: βάκκαρος C: βακάριος ς: emendavi. — 2 στακτή] στάκτη Bekk.: emendavi. — 3 μετάλλειον] μεταλεῖον Bekk.: emendavi. — Μέταλλος] Μέταλος Bekk.: emendavi.

P 216 μεγάλλειον· μύρον· ἀπὸ τοῦ εὑρομένου τὴν κατασκευὴν αὐτοῦ Μεγάλλου Σικελιώτου· λέγει δὲ καὶ Θεόφραστος εἰς τὸ περὶ ὀσμῶν τὴν κατασκευὴν τοῦ μεγαλλείου.

Poll. VI 104; Athen. p. 688 C sq.; 690 A sq.; Arethas in Clem. Al. Paed. ed. Staehlin p. 329, 26; (cf. ipsum Clem. ibid.); Eustath. 975, 3. — βάκκαρις: Erotian. ed. Klein p. 59, 8 βάκχαρις; Galen. gloss. Hipp. ed. Kühn XIX p. 87 βάχαρις; Hesych.; schol. Aesch. Pers. 41; schol. Luc. ed. Rabe p. 198, 17 βάκχαρις. — στακτή: EM; EGud; Suid. — πλαγγόνιον: Hesych. — μετάλλειον: Hesych.; EM. — μεγάλλειον: Hesych.; EM; Suid.; Zonar.; Herodian. ed. Ltz. I 375, 23; II 549, 1.

532 b 18 (ibid.) ὅτι παρὰ Εὐφορίωνι (fr. 84 Scheidw.) τῷ φύσει μὲν Χαλκιδεῖ, θέσει δὲ Ἀθηναίῳ, κακοζήλους ἔστιν εὑρεῖν λέξεις· καὶ γὰρ τὸν Ἰάσονα ναυαγὸν εἶπεν, ὅπερ οὐ νεναυαγηκότα μᾶλλον τὸν δὲ ναῦν ἄγοντα δηλοῖ. καὶ τὸν τὰ χρυσᾶ μῆλα τῶν Ἑσπερίδων φρουροῦντα ὄφιν κηπουρὸν ὠνόμασε. παρεζήλωσε δὲ τὸν πρῶτον Διονύσιον τὸν Σικελίας τύραννον

(fr. 12 N), ὃς ὑπὸ τῆς ἐξουσίας καὶ τῶν κολάκων καὶ τῆς τρυφῆς διαφθειρόμενος ἐπεχείρησε καὶ τραγῳδίας γράφειν, ἐν αἷς καὶ τοιαῦτα συνεφόρησε ῥήματα, τὸ μὲν ἀκόντιον καλῶν βαλάντιον, τὸν δὲ κάδον ἑλκύδριον, σκέπαρνον δὲ τὸ ἔριον, τὴν δὲ χλαῖναν ἐριώλην, οἷον ὄλεθρον οὖσαν τῶν ἐρίων, καὶ πολλὰ τοιαῦτα καταγέλαστα. P 447 σκέπαρνον ἀρρενικῶς οἱ παλαιοὶ τὸν σκέπαρνον· καὶ παρ' Ὁμήρῳ (ε 237).

βαλάντιον (9): EM; EGud; Herodian. ed. Ltz. I 367, 33, II 458, 4; Athen. p. 98 C—D; schol Dion. Thr. ed. Hilg. p. 11, 15; 452, 21; epist. Socr. 35 (Hercher epistologr. p. 634); Psellus (anecd. Boissonade III 208). — ἑλκύδριον (10): EM; schol. Dion. Thr. ed. Hilg. p. 452; Psellus l. d. — σκέπαρνον (10): EM; schol. Dion Thr. l. d. et 301, 12; Eustath. 1531, 50; Psellus l. d.

532 b 30 (ibid.) ὅτι ὁ τῆς θυΐας τριβεὺς δοῖδυξ μὲν παρὰ τοῖς Ἀττικοῖς ὀνομάζεται, ἀλετρίβανος δὲ παρὰ τῇ συνηθείᾳ, καὶ οὐδὲν ἧττον παρὰ Ἀθηναίοις. Διονύσιος (fr. 12 N) δὲ ὁ προειρημένος τύραννος θυέστην τὸν δοίδυκα ἐκάλει. εἰκότως ἄρα τῆς τῶν τοιούτων ἀκροάσεως τὰς λατομίας μᾶλλον ᾑρεῖτο Φιλόξενος.

P 73 (R.) ἀλε⟨αί⟩νοιμι· θερμαινοίμην· Ἀριστοφάνης (Eccl. 540). ἀλετρίβανον· ὁ αὐτός (Pax 265). cf. Ba. (Bekk. p. 379, 24).

δοῖδυξ: Hesych. δοίδυξ; Orio; VBekk. p. 239, 1; EM; EGud; Suid.; schol. Aristoph. Pac. 259; Herodian. ed Ltz. II 742, 1; Choerob. in can. ed. Gaisf. p. 80, 20. — ἀλετρίβανος: II Bekk. p. 79, 14; EM; Suid.; schol. Nicandr. Ther. 109; cf. loc. supr. d.

533 a 10 (ibid.) ὅτι ἀναλογώτερον ἀντὶ μὲν τῆς εἰς προθέσεως τὸ ἐς λέγειν, ἀντὶ δὲ τῆς ἐξ τὸ ἐκ· πᾶσα γὰρ πρόθεσις βραχυκαταληκτεῖν θέλει. ἀλλ' ἕτερος πάλιν λόγος τὴν ἐκ ξενίας διώκει· οὐδεμία γὰρ παρ' Ἀττικοῖς λέξις εἰς κ̅ καταλήγει.

P deest.

schol. Dion. Thr. ed. Hilg. p. 425, 28; Gregor. de dial. ed. Schäf. p. 77.

533 a 14 (ibid.) ὅτι τὸ Κυθνώλης διὰ τοῦ λ̅ γράφουσιν, ἀλλ' οὐ διὰ τοῦ δ̅· Ἄργους γὰρ ἦν χωρίον τι καλούμενον Κύθνιον, οὗ τοὺς ἄνδρας ποτὲ Ἀμφιτρύων ἀνεῖλε πάντας, πλὴν ὀλίγων πάνυ.

P om.

533 a 17 (ibid.) ὅτι ὁ παρ' ἄλλοις μισθοῦ δουλεύων θὴς καλεῖται, ἢ παρὰ τὸ θεῖναι, ὃ δηλοῖ τὸ χερσὶν ἐργάζεσθαι καὶ ποιεῖν· καὶ γὰρ τοῖς παλαιοῖς λέγειν ἔθος τὸ ἔθηκεν ἐπὶ τοῦ δρᾶν, καὶ ὡς δραστικώτατος ἥρως διὰ τοῦτο κέκληται Θησεύς·

ἢ κατὰ μετάθεσιν τοῦ τ̄ εἰς τὸ θ̄· τὸ γὰρ πένεσθαι καὶ τητᾶσθαι βίου, οἷον στέρεσθαι, ἀναγκάζει πολλοὺς τὰ δούλων πράττειν.

6 βίου C: τοῦ βίου ς.

